## ΥΠΟΘΕΣΙΣ
## ΑΙΑΝΤΟΣ ΜΑΣΤΙΓΟΦΟΡΟΥ.

Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστὶ πραγματείας, ὥςπερ οἱ Ἀντηνορίδαι καὶ Αἰχμαλωτίδες καὶ Ἑλένης ἁρπαγὴ καὶ Μέμνων [1]). πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν. καὶ κρινομένων περὶ τῶν ὅπλων, κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας, τῆς κρίσεως μὴ τυχὼν, παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην· ὥςτε ἐφαπτόμενος τῶν ποιμνίων, δοκεῖν τοὺς Ἕλληνας διαχρήσασθαι· καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστὶ καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν, ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόςκειται ὁ μαστιγοφόρος, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ Λοκροῦ. Δικαίαρχος δὲ Αἴαντος θάνατον ἐπιγράφει· ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς Αἴας ἀναγέγραπται.

1) In Codice Regio E. non *Μέμνων* scriptum, sed *Ἀγαμέμνων*. librarii prolubio aut errore. Memnonis nusquam alibi, quod equidem sciam, occurrit mentio. Brunck.